ταλίᾳ σοφῶν, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς, καὶ ἰταλικῆς φωνῆς, πεπαιδευμένος τήν τε θύραθεν, καὶ τὴν καθ' ἡμᾶς παιδείαν· ἐχρημάτισε διδάσκαλος τοῦ Φλαγγινιανοῦ φροντιστηρίου Ἑνετίησι.

Νικόλαος ἐκ Μολδαβίας πρωτοσπαθάριος τῆς ἐν Μολδαβίᾳ ἡγεμονίας· ἀνὴρ σοφός, πολυμαθής, ἐν φιλοσοφίᾳ καὶ μαθηματικῇ, καὶ ἀστρονομίᾳ ἐπίσημος, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς καὶ ἰλλυρικῆς διαλέκτου· μετήνεγκε τὴν θείαν γραφὴν ἐκ τῆς ἑλληνικῆς εἰς τὴν ἐγχώριον φωνὴν τῶν Δακῶν καὶ τῶν Οὐγγροβλάχων, ἣν ἀναγινώσκεσθαι ἐν ταῖς ἁπανταχοῦ ἐκκλησίαις αὐτῶν ἔθος ἐπικεκράτηκε· ἠξίωται πολλῆς τιμῆς καὶ ἀποδοχῆς παρὰ τῶν Μόσχων, καὶ τῇ τε ἀξίᾳ τοῦ ἑρμηνέως τετίμηται, καὶ πρεσβείαν ἐστάλη παρ' αὐτῶν εἰς τὴν Σινικὴν βασιλείαν.

Γεώργιος Μαϊώτης Κρής, ἱερεύς, τρόφιμος τοῦ ἐν Ῥώμῃ φροντιστηρίου τῶν Ἑλλήνων, εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς, καὶ ἰταλικῆς φωνῆς, πεπαιδευμένος τήν τε θύραθεν καὶ τὴν καθ' ἡμᾶς παιδείαν, καὶ κῆρυξ τοῦ εὐαγγελικοῦ λόγου.

Ἰωάννης Θαλασσινὸς Πελοποννήσιος, ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς διαλέκτου, ἔμπειρος τῆς θείας γραφῆς.

---

## Ἀπαρίθμησις τῶν νῦν ἀνθούντων ἐν τῇ Ἑλλάδι.

Ἱερεμίας πατριάρχης Κωνσταντινουπόλεως ἐκ νήσου Πάτμου, εὐσεβείᾳ καὶ τρόπων χρηστότητι σεμνυνόμενος, εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, καὶ τῆς ἐκκλησιαστικῆς παιδείας, ἀκολουθίας καὶ τάξεως ἔμπειρος, ἱκανὸς ἀνιχνεῦσαι τὸν νοῦν τῆς θείας γραφῆς, καὶ τῶν θεοπνεύστων συγγραμμάτων τῶν ἁγίων πατέρων τῆς ἐκκλησίας, ἅ γε οὐ διαλείπει μελετῶν ἀόκνως καὶ φιλοπόνως νύκτωρ καὶ καθ' ἡμέραν, αἷς ἐκεῖθεν ἐρανίζεται διδασκαλίαις καὶ πνευματικαῖς ὑποθήκαις καταρτίζων τὸ χρι-